*Ὄλβιος, ᾧι παῖδές τε φίλοι καὶ μώνυχες ἵπποι*
*θηρευταί τε κύνες καὶ ξένοι ἀλλοδαποί.*
*ὅστις μὴ παῖδάς τε φιλεῖ καὶ μώνυχας ἵππους*
*καὶ κύνας, οὔποτέ οἱ θυμὸς ἐν εὐφροσύνηι.*

*Ὦ παῖ, κινδύνοισι πολυπλάγκτοισιν ὁμοῖος*
*ὀργήν ἄλλοτε τοῖσ᾽, ἄλλοτε τοῖσι φιλεῖν.*

*Ὦ παῖ, τὴν μορφὴν μὲν ἔφυς καλός, ἀλλ᾽ ἐπίκειται*
*καρτερὸς ἀγνώμων σῆι κεφαλῆι στέφανος·*
*ἰκτίνου γὰρ ἔχεις ἀγχιστρόφου ἐν φρεσὶν ἦθος*
*ἄλλων ἀνθρώπων ῥήμασι πειθόμενος.*

*Ὦ παῖ, ὅς εὖ ἕρδοντι κακὴν ἀπέδωκας ἀμοιβήν,*
*οὐδέ τις ἀντ᾽ ἀγαθῶν ἐστὶ χάρις παρὰ σοί·*
*οὐδέν πώ μ᾽ ὤνησας· ἐγὼ δέ σε πολλάκις ἤδη*
*εὖ ἕρδων αἰδοῦς οὐδεμιῆς ἔτυχον.*

*Παῖς τε καὶ ἵππος ὁμοῖον ἔχει νόον· οὔτε γὰρ ἵππος*
*ἡνίοχον κλαίει κείμενον ἐν κονίηι,*
*ἀλλὰ τὸν ὕστερον ἄνδρα φέρει κριθαῖσι κορεσθείς·*
*ὣς δ᾽ αὔτως καὶ παῖς τὸν παρεόντα φιλεῖ.*

*Ὦ παῖ, μαργοσύνης ἄπο μεν νόον ὤλεσας ἐσθλόν,*
*αἰσχύνη δὲ φίλοισ᾽ ἡμετέροισ᾽ ἐγένου·*
*ἄμμε δ᾽ ἀνέψυξας μικρὸν χρόνον· ἐκ δὲ θυελλῶν*
*ἦκά γ᾽ ἐνωρμίσθην νυκτὸς ἐπειγόμενος.*